enen
teſt / ſo
h lieben /
meinen Kra
h dienen / vnd
nblick dar
n mein
ß al
d bi
olſ

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id363814140/1
gefördert von der Deutschen Forschungsgemeinschaft

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id363814140/2
gefördert von der Deutschen Forschungsgemeinschaft

4

45

# QVVM
*Serenissimi Celsissimique*
*PRINCIPIS*
# COSMI TERTII
## MAGNI HETRVRIÆ DVCIS
Aulam
## FLORENTIÆ
inviseret, ibique
## BIBLIOTHECAM MEDICEAM
perlustraret
*VIR CLARISSIMVS*
## JACOBVS TOLLIVS
Med. Doct. & P. P. Academiæ Duisburgensis;
ILLIVS quidem indulgentiam singularem,
HVJVS vero solertem industriam
celebrabat
IOH. GOTHOFREDVS HERRICHEN.

*LIPSIÆ,*

M DC LXXXVII.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id363814140/3
gefördert von der Deutschen Forschungsgemeinschaft DFG

Εἰς τὸν ἐπικυδέςατον

# KOCMON
## TON TRITON
### ΜΕΓΑΝ ΤΩΝ ΤΥΡΡΗΝΩΝ ΗΓΕΜΟΝΑ.

*** *** ***

Ηλυθε ΤΟΛΛΙΑΔΗΣ. Σὺ δὲ δέξό νιν, ἐυκλεὲς Αρχων,
  Ω φάος! Ιταλικοῦ ΚΟΣΜΕ Σεβαςὲ πέδου!
Σὰς χέρας ἱμείρει κῦσαι, σὴν δερκέμεν ὄψιν·
  Μὴ κρύβε σὴν ὄψιν, μηδὲ κάλυπτε χέρας.
Μηδέ, τὶ δεξιτερὴ ῥέζει, γνῷ πώποτε λαιή·
  Ηδε θαμ' ἐμπλήρης, ἠδ' ἀπάνευθε Φθόνου.
Σὴν ἐθέλει βιβλίων ἐρμήκετον ἐγγύθι θήκην,
  Καινά τε σῶν σελίδων ἠδὲ παλαιὰ βλέπειν.
Γάζα τί λυσιτελεῖ μυχάταις κρυφθεῖσα χαράδραις;
  Κλειομένων τε θυρῶν πάντοθεν, εἰς τί φάος;
Οιγε θύρας αἴγλῃ, περικυδέα δείκνυθι γάζαν,
  Ην σοφὸς ἐν παλάμαις ΜΑΓΛΙΑΒΗΚΧΟΣ ἔχει.
Αντὶ χάριν δώσει Σοὶ ΤΟΛΛΙΟΣ, ἠδὲ σκεδάσει
  Παντὶ σὸν ἐν κόσμῳ, ΚΟΣΜΕ μέγιςε, σέλας.

# JAKΩBON TON TOΛΛION.

Τισὶν ἐκβοῷμι φωναῖς,
Νέων σὲ καὶ παλαιῶν
Τισὶν ἐξισοῖμι φωσὶ,
ΤΟΛΛΙΕ, δίζω.
Περίβωτος ἦν Οδυσσεὺς
Σοφαῖς ἑῇσι βουλαῖς.
Ονομαστὸς ἦν Ιάσων
Πράγεσι κυδροῖς.

Εθελούσιος μὲν ἄλλα
Τονῦν ἐν ὡς τυλίττω
Πινυτῶν ἐμῇσιν ἀνδρῶν
Εργματα σιγαῖς,
Μερόπεσσι δὴ διδακτοῖς
Λίην ἐναργές ἐστιν
Ονομακλύτων τὸ μολπῇ
Λεχθὲν ἀοιδῶν.
Ο μὲν εἷς, ὅπως Αθηνᾶς
Δολοφρόνως ἀφεῖλεν
Απὸ Τρωϊκοῖο σεμνὴν
Εικόνα βωμοῦ.
Ετερος δὲ, πῶς τὸ χρυσοῦν
Καλοῖς σὺν Αργοναύταις
Χυμικοῖς ἀφεῖλε γραφθὲν
Γράμμασι κῶας.
Σὺ δὲ τῶνδε μοί τις εἶναι
Δοκεῖς, σὺ γὰρ περίφρων
Αποδημέεις ἀποπρὸ
Πατρίδος αἴας,

Παρριτέρων τε λαῶν
Αμα ποικίλοισι τεθμοῖς
Μνήματα γνώση.
ΟΡΟΣ ἐ σθένει σε ΜΥΡΤΩΝ,
ΔΙΟΣ σὸν ἐδὲ ΠΥΡΓΟΣ
Πόθον, ἐ λιγεῖα Βελγῶν
Αονὶς ἆσαι.
Ατὰρ ἐκτρέχεις ἐς αἰπὴν
Κλυτἒ πόλημα ΒΡΕΝΝΟΥ,
Ινα σοῖς κρυβέντας ὄσσοις
Γνῶς σάφα δέλτες.
Τί δὲ; ΚΑΡΠΟΣ ἐ σὲ ΖΩΗΣ
Εσυρε Λειψίηνδε,
Ινα γνῷς, ἃ θῆκε ΦΕΛΛΗΡ,
Βιβλία Παύλε;
Ανὰ Δρέσδαν, ἄν τε Πράγαν
Εκεῖθεν εἶς, πεποιθὼς
Λιγυρῶν Φίλοισι Μεσῶν,
Σῇ τε μενοινῇ.
Τί δὲ; Μέχεις ἐ πρὸς ἄςυ
Δαμασθὲν ἐν Μονάρχε
Αμαχωτάτοισιν ὅπλοις
Ηρπασεν ἴϋγξ;
Οθι βιβλίων μὲν ἐδὲν,
Ερειπίων δὲ πλῆθος
Λοθαριγγικοῖο μώλε
Σήματ᾽ ἑώρας·
Ανὰ δ᾽ ἦλθες ἐ ματαίως
Πόλινδε τῆ Μονάρχε·
Φιλοτιμίαν γὰρ εὐθὺς
ΚΑΙΣΑΡΟΣ εὗρες.

Αμοιρος ȣ̓κ ἐτύχθης
ΛΕΟΠΟΛΔΙΗΝ ἀφύσσαι
Ομασιν ὀμφὴν.
Οάριζέ σοι προσηνής,
Σὺ συλλαλεῖς δι' ὥραιν
Λογίων μεσηγὺ βίβλων,
Ως πρὸς ἑταῖρον.
Νόον ȣ̓ν, σὸν ȣ̓ν ἐέλδωρ
Τυπέντα καὶ γραφέντα
Εδύνανθ' ἅλις κορέσσαι
Βιβλία κεῖθι.
Σὲ δε πόρσιον βαδίζειν
Τὸ λῆμα σὸν κελεύει,
Ο τόσσαν νέον δεδόρκοις
Κοίρανον Ουννων.
ΛΕΟΠΟΛΔΙΟΝ τὸν ΥΙΟΝ
Ομορρόθοις γὰρ αὐδαῖς
Ονόμηναν, ἠδ' Ανακτα
Εστεφον Ουννοι.
Σὺ συνήδεαι σὺν ἄλλοις·
Ιὼ! σὺ φῇς· Κραταιῶν
Βασιλεὺς ὁ καινὸς Ουννων
Δηθάκι θάλλοι!
Βενετῶν ἔπειτα κλειτῶν
Αγήνορας στρατηγȣ̀ς
Πεδόθεν τε καὶ θαλάσσῃ
Σοί 'θ' ἔστις ἀθρεῖν.
Ιδες. αὐτὰρ ἀντ' Αρηος
Σοφῶν κύημα Μȣσῶν
Ορᾶαν τε, ψηλαφᾶν τε
Μᾶλλον ἐέλδῃ.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id363814140/8 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

Τόδε γοῦν σὲ πᾶν ἰδόντα
Βλέπειν τὸ ΘΑΛΛΟΝ ΑΣΤΥ,
Ιταλῆσι τοῦμμα χώραις,
    Ιμερος ἥκει.
Αφαρ οὖν ἵκανε πηνῷ
Ες Αστυ Θάλλον ἐσθλῷ,
Ποσὶ σοῖσιν, ἢ τετρώροις,
    Ηὲ σὺν ἵπποις.
Μέγας ἡγεμὼν ὁ ΚΟΣΜΟΣ
Σὲ δέξεται γαληνῷ
Προσιόντα σφὴν ἐς Αυλὴν
    Πραῢ προσώπῳ.
Οτε πεύσεται, τί ΚΑΙΣΑΡ;
ΑΝΑΞ τί καινὸς ΟΥΝΝΩΝ
Επιχειρέει; τί ΤΟΥΡΚΟΣ;
    Τί στρατὸς ἀμφοῖν;
Επιτὰξ ἐρωτάοντι
Διηγέου μετ' αἰδοῦς,
Α πρὶν ὀφθάλμοισιν εἶδες,
    Καὶ πίες ὠσί.
Δοκίμοισιν οὖν γλυκανθεὶς
Λόγοισι σοῖς ὁ ΚΟΣΜΟΣ
Παραχρῆμα σοὶ κελεύσει
    Γάζαν ἀνοῖχθαι.
Τίνα γάζαν, ἢ ταμεῖον;
Νέων τε καὶ παλαιῶν
Σελίδων τε διφθέρων τε
    Πλήρεα γάζαν.
Σὺ δὲ νύχθ' ὅλην καθίζων
Μίαν τε, δευτέραν τε,
Απὸ παρνὰ, καὶ γεραιά
    Βιβλία γράψεις·

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id363814140/9 gefördert von der Deutschen Forschungsgemeinschaft DFG

Γράφε δὴ. χάριν τε πολλὴν
Πτεροῖσι, χερσὶ, γλώσσῃ
Μεγάλῳ δὸς, ὦ φίλεργε
ΤΟΛΛΙΕ, ΚΟΣΜΩ.
Ινα ψιττάκας, πιθήκους,
Αμοργίδας, σαφείρους
Φορέωσι, πλεῖν ἐς Ινδοὺς
Ειαε ναύτας.
Γράφε! μηδὲ σῶν κοράων,
Οπου τε τῆς ἐλαίας·
Γράφε! μηδενός τε δεινοῦ
Φείδεο μόχθου.
Μετέπειτα δὸς φόωσδε
Τεῇ τὰ γραπτὰ σπουδῇ,
Μελετάς τε τοῖς βροτοῖσι
Κοίνοε καινάς.
Α γὰρ ἔνθεν ἐκπορίσεις
Φιλεργίῃσι σῇσι,
Δέρας ἀβρὸν, ἠδὲ χρυσὸς
Αμμιν ἐσεῖται.
Α γὰρ ἐκ φρενῶν διδώσεις
Τὸ κοινὸν εἰς ὄνειαρ,
Ιερὸν ὅμως Αθηνᾶς
Φράσσομεν εἰκῶ.
Γράφε νῦν, θεᾶς ἄγαλμα
Δὸς ἄμμιν, ὦ Οδυσσεῦ!
Γράφε, χρύσεον χορήγει
Κῶας, Ιᾶσον!

Datum der Entleihung bitte hier einstempeln!

| | | |
|---|---|---|
| 13 März 2000 | | |
| | | |
| | | |
| | | |
| | | |
| | | |
| | | |
| | | |
| | | |
| | | |
| | | |
| | | |
| | | |

SLUB DRESDEN

3 0381347

Sächsische Landesbibliothek –
Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id363814140/12
gefördert von der
Deutschen Forschungsgemeinschaft